# ΑΡΓΥΡΟΠΟΥΛΕΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

## ΦΡΑΓΚΙΣΚΟΥ ΦΙΛΕΛΦΟΥ

### ΕΠΙΣΤΟΛΑΙ ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΑΡΓΥΡΟΠΟΥΛΟΝ[1]

### 1.

*Φραγκίσκος ὁ Φίλελφος παπᾷ Ἰωάννῃ τῷ Ἀργυροπούλῳ ἱερεῖ τε καὶ κριτῇ τοῦ δημοσίου χαίρειν.*

(Ἐκ Μεδιολάνου 13 Ἀπριλίου 1441)[2].

Κομισάμενός σου τὴν ἐπιστολήν, ὦ θαυμάσιε, ἥσθην κατ' ἄμφω, τοῦτο μέν μοι καὶ ὡς ἤκουσαν παρὰ σοῦ, ἀνδρὸς ἄντικρυς τὰ πρῶτα φέροντος τῶν ἐν τῇ Ἑλλάδι σοφῶν, τοῦτο δὲ ὡς οὕτω

[1] Περιλαμβάνονται ἐν τῷ κώδικι Guelferbytanus (Wolfenbüttel) Aug. 10. 8, αἰῶνος ιε', καὶ τῷ τῆς ἐν Μεδιολάνῳ βιβλιοθήκης Trivulziana 873 (Scaff. N° 83 Palch. N° 7), αἰῶνος ιε'. Ἐξεδόθησαν δὲ τινὲς μὲν πλήρεις, τινὲς δ' ἐν μέρει ὑπὸ *Theodor Klette* (Beiträge zur Geschichte und Litteratur der Italienischen Gelehrtenrenaissance. III. Die Griechischen Briefe des Franciscus Philelphus. Nach den Handschriften zu Mailand (Trivulziana) und Wolfenbüttel. Greifswald. 1890) καὶ ὑπὸ τοῦ *Legrand* (Cent-dix lettres grecques de François Filelfe. Ἐν Παρισίοις. 1892), μόνον τὸν κώδικα τοῦ Μεδιολάνου λαβόντος ὑπ' ὄψιν.

Τὴν μὲν ἔκδοσιν τοῦ Klette ἐδήλωσα κατωτέρω διὰ τοῦ K. τὴν δὲ τοῦ Legrand διὰ τοῦ L. – M = ὁ κῶδιξ τῆς Trivulziana. G = ὁ Guelferbytanus. Οὐδὲν δ' ἐσημείωσα περὶ τῶν ἐμῶν διορθώσεων περὶ τὴν στίξιν.

[2] Ἐξεδόθη πλήρης ὑπὸ Klette ἔνθ' ἀν. σ. 115 κ. ἑ. καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 50 κ. ἑ. ὑπ' ἀρ. 24.

1. Ἀργυροπούλῳ KL: αργυροπούλῳ M  2. ἱερεῖ KL: ἱερεῖ M  5. παρὰ σοῦ KL: παρά σου M

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

φράσεως ἔχουσαν ὡς καὶ δοκεῖν ἀκριβῶς ὑπό τινος τῶν Μουσῶν ἐξειργάσθαι. Καὶ δή σου τὸ τῆς φύσεως εὐφυές τε καὶ περιδέξιον ἐπιεικῶς ἐμακάρισα, ὅτι περ οὕτως ἐν ἀμφοτέροις ἐξαρκεῖς τοῖς λόγοις, τῷ τε τῶν ῥητόρων καὶ τῷ τῶν φιλοσόφων, ὡς οὐδ᾽ ἄν τις ἕτερος περὶ θάτερον ἤδη χωρίς. Ὦ Μοῦσαι καὶ Ἑρμᾶ καὶ Ἄπολλον, οἵους, οἵους ἡμῖν τροφίμους ἀπεργάζεσθε. Καὶ γὰρ ἐγὼ τοῖς σοῖς γράμμασιν ἐντυχών, ὦ μακάριε, πάνυ γε δὴ ἐδόκουν τινὶ τῶν πάλαι ἐκείνων τοῖς ἑλληνικοῖς μάλιστα προςδιατετριφότων λόγοις συνεῖναι. Οὕτω καθάπαξ ἑλληνίζουσα ἦν κατ᾽ ἀκρίβειαν ἡ καλὴ παρὰ σοῦ πρὸς ἡμᾶς ἐπιστολὴ ἢ μᾶλλον, ὡς εἰπεῖν, ἀττικίζουσα, καθάπερ τινὸς οὖσα τῶν Ἀθήνησι τοὺς λόγους καὶ τὴν φιλοσοφίαν παιδευθέντων.

Τῆς μέντοι γε διαθέσεως, ἣν πρὸς ἡμᾶς ἔχειν φής, πολλὴν οἶδά σοι χάριν, καί σοι πολλὰ πρὸς θεοῦ ἀγαθὰ γένοιτο. Πιστεύω δέ σε οὕτω διακεῖσθαι πρὸς ἡμᾶς, ὅτι περ καὶ ἡμεῖς οὕτως ἔχομεν περὶ σέ· οὐ γὰρ ἂν τὸν ἐμὸν παῖδα Μάριον παρὰ σοὶ φοιτᾶν ἐβουλόμην, μή τινος καὶ πρὸς τῇ τῶν σῶν ἠθῶν εὐκοσμίᾳ, προηγησαμένης σχέσεως ψυχῆς, εἰ καὶ ταχέως ὁ Μάριος, ὡς ἤνεγκεν ἡ φήμη ἡμῖν, τὸν τῆς διδασκαλίας ζυγὸν ἀποσεισάμενος, τὸν ἄνετον βίον ἠγάπησε, τῆς πατρικῆς σου καὶ γλυκείας ἐπιστασίας ἀποστάς· ᾧ καὶ συνέφερεν ἄν, ὡς ἔμοιγε δοκεῖ, καὶ πολλῷ μᾶλλον, ἐνταῦθα μένειν παρ᾽ ἡμῖν ἢ αὐτόθι παρεῖναι, ἐρήμῳ γε οὕτως ὄντι προστάτου. Οὐ γὰρ δὴ μόνον οἷς εἶχεν οὐ προςέθηκεν, ἀλλὰ καὶ ἅπερ αὐτόσε ἦλθεν ἔχων ἀφ᾽ ἡμῶν προςαφήρηται. Τί γὰρ ἄν τις οὐ λέγοι τἀληθῆ πρὸς σὲ, φίλον γε πάλαι ὄντα καὶ ἄνδρα καλὸν κἀγαθόν; Ἀλλὰ περὶ τούτων ἅλις.

Διάγει αὐτόθι παρὰ τῷ τῶν Ἑνετῶν λεγομένῳ βαΐλῳ Πέτρος

3. ὅτι περ L: ὅπερ K  ἐξαρκεῖς K: ἐξαρκοῖς L  5. Ἑρμᾶ L: Ἑρμᾶν (sic) K: ἑρμᾶν M  8. προσδιατετριφότων MGK: προσδιατετροφότων L  9. καθάπαξ L: καθ᾽ ἅπαξ K  11. καθάπερ τινὸς KL: καθάπέρ τινος M  13. φὴς L: φῇς K  14. οἶδά KL: οἶδα M  17. μή τινος M: μοί τινες G κατὰ K  19. τὸν τῆς L: τὸ τῆς K

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

τις ὁ Περλέων, νεανίσκος τὴν ἀρετὴν ἐν τοῖς μάλιστα ἀσπαζόμενος, ὃν καὶ τοῖς ἡμετέροις υἱέσιν εἰκότως συναριθμῶ. Καὶ γὰρ οὐ μόνον ἐμοὶ ἐγένετο μαθητὴς, ἀλλὰ καὶ πλεῖστα ἡμᾶς ἀγαπᾷ τε καὶ φιλεῖ, μᾶλλον, ὡς λόγον εἰπεῖν, ἢ τὸν ἑαυτοῦ πατέρα, ὥςτε κἀμοῦ κελεύοντος ἕτοιμος οὗτος κἂν εἰς πῦρ κατὰ παροιμίαν ἐμβῆναι· καὶ, ὡς οἶμαί γε, εὖ τε καὶ καλῶς οὕτως ἔχει· ὁ μὲν γὰρ τὴν ὕλην οἱονεὶ μόνην δέδωκεν αὐτῷ τοῦ εἶναι, ἡμεῖς δὲ τὸ εἶδος, τιμιώτερον δὲ πολλῷ τὸ εἶδος, ὡς οἶσθα, τῆς ὕλης· εἴπερ ἐκείνη μὲν ἐφίεσθαι δοκεῖ τοῦ εἴδους μᾶλλον, τοῦτο δὲ ἐκείνης ἧττον. Τιμιώτερος οὖν νομισθείη ἂν τῷ Πέτρῳ ὁ τό γε κρεῖττον αὐτῷ καὶ τιμιώτερον παρεσχηκὼς καὶ κατὰ τὸ εἰκὸς ἄρα ἤδη καὶ φίλτερος. Τοῦτον τοίνυν συνίστημί σοι, ὦ φίλτατε, ὡς ἐμὸν φίλον τε καὶ υἱὸν ἐμοὶ μὲν ὄντα, σαυτῷ δὲ ἐσόμενον, εἴπερ καὶ σὺ τῷ ἐμῷ χρώμενος παραδείγματι διδάξεις αὐτόν. Διατρίβει γὰρ παρ' ὑμῖν τῆς ἑλληνικῆς μαθήσεως ἕνεκεν, οὐκ ἄμοιρος ἐλθὼν τῶν Μουσῶν. Ἔρρωσο.

Μεδιολάνοθεν, ταῖς εἰδοῖς Ἀπριλίου, ἔτει ἀπὸ τῆς Χριστοῦ γεννήσεως χιλιοστῷ τετρακοσιοστῷ πρώτῳ.

---

## 2.

(Ἐκ Μεδιολάνου, 5 Νοεμβρίου 1457)[1].

*Φραγκίσκος ὁ Φίλελφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίρειν.*

Βουλόμενος ἔγωγε καὶ τοῖς τῶν Ἑλλήνων μέλεσιν ἄλλοις τε καὶ ἄλλοις καὶ τὰς λυρικὰς ἡμετέρας χρῆσθαι ᾠδὰς, γέγραφά σοι

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 131 καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 90 ὑπ' ἀρ. 48.

1. Περλέων ἔγραψα: Περλέων K: ὁ Περλίων L  5. κἂν M κατὰ L: λείπει ἐν τῷ G κατὰ K  13. τε L: λείπει K  14. διδάξεις ἔγραψα: διδάξῃς KL  15. ἕνεκεν L: εἵνεκεν K ἄμοιρος L: ἄμειρος K  21. ἡμετέρας KL: ἡμετερας M

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

διὰ στίχων, ὡς οἶσθα, τὸ παρὸν ἐλεγεῖον, τὴν ἡμετέραν δηλονότι φιλίαν πᾶσιν ἀνθρώποις ἐναργῆ ποιησόμενος. Μὴ θαύμαζε δὲ μουσικώτατος ὢν τὴν ἐμὴν ἀμουσίαν· Λατῖνος γὰρ ὑπάρχων αὐτὸς, οὐ δὴ πάμπαν δύναμαι ἑλληνίζειν. Ἅλις δὲ ὑμῖν τοῦ ἐπαίνου, ὅτι ἔξεστιν ἐν τοῖς ἡμετέροις τολμᾶν καί τι τὸ μὴ ὂν πάντη κοινὸν τοῖς πολλοῖς. Σὺ μὲν οὖν, ὦ φίλτατε, ποιήσεις πρᾶγμά μοι ποθεινὸν, τὴν σοῦ διάνοιαν περὶ τούτου δηλώσων· τὰ γὰρ φαινόμενά σοι γενήσεταί μοι χρησμὸς δελφικός. Ἔρρωσο.

Μεδιολάνοθεν, ταῖς νώναις Νοεμβρίου ͵αυνζ΄.

---

## 3.

(Ἐκ Μεδιολάνου, 13 Νοεμβρίου 1457)[1].

*Φραγκίσκος ὁ Φίλελφος Ἰωάννῃ τῷ Ἀργυροπούλῳ χαίρειν.*

Ἐπέστειλά σοι μὲν καὶ πρότερον, οὔθ' ἅλις δὲ, οὔτε πρὸς τὰ ἔμοιγε ἀναγκαῖα ἐπέστειλα, ἀλλὰ οὔτ' ἔτι πρὸς τὰ σοί. Οἶσθα μὲν οὖν, ὅτι ἀπελθόντι σοι ἀφ' ἡμῶν τέτταρα ὑπάρχειν εἶπον ἐγὼ, ἅπερ ἂν χαρισάμενός μοι πρᾶγμα ἐποίεις ἐν τοῖς μάλιστα ποθεινὸν, τὴν ἅπασαν δηλονότι περὶ τῶν πέντε διαλέκτων γραμματικὴν πραγματείαν, ἐν πρώτοις δὲ τὴν αἰολικὴν, καὶ δεύτερον περὶ πο-

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 132 κ. ἑ. καὶ ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 92 ὑπ' ἀρ. 50.

2. ἐναργῆ KL: ἐνεργῆ M 4. ὑμῖν L: ἡμῖν K 5. καί τι KL: καὶ τὶ M 6. πολλοῖς KL: καλοῖς πολλοῖς ἐν τῷ G κατὰ K πρᾶγμά KL: πρᾶγμα M 7. τὴν σοῦ KM: τήν σου L 8. ἔρρωσο LM: ἐρρῶσο M 9. Νοεμβρίου KL: νουεμβρίου M 13. τὰ σοὶ KM: τά σοι L 16. γραμματικὴν L: γραμματικῶν K

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σότητος συλλαβῶν, καὶ τρίτον περὶ προςῳδιῶν, τὸ τελευταῖον δὲ περὶ συντάξεως. Ταῦτα γὰρ ἔφης παρεῖναι πάντα γε, ἄλλα μὲν σοὶ, ἄλλα δὲ φίλοις τισί. Σπουδαῖον τοίνυν, ὦ φίλων ἄριστε, γενέσθαι μοι αὐτὰ ὅσον δύνασαι τάχιστα.

Καὶ ταῦτα μὲν ἐμά. Νῦν δὲ περὶ σοῦ ἄκουσον διὰ βραχέων. Ἐρωτήσαντι πάνυ γε πολλάκις ἐμοὶ περὶ τῶν σῶν πραγμάτων ἀπαγγέλλουσιν ἅπαντα κατὰ τὴν ἐπιθυμίαν ἐμὴν, καὶ ὅτι ἔχεις εὖ καὶ καλῶς κατὰ σῶμα, καὶ ὅτι παρὰ πᾶσί τε καὶ ἐν πᾶσιν εὐδοκιμεῖς. Ἅπερ δὴ ἀκούων αὐτὸς καθ' ὑπερβολὴν ἥδομαι· ἓν δὲ καὶ μόνον λυπεῖ οὐκ ὀλίγους, ὅτι τὰ τοῦ καλοῦ κἀγαθοῦ ἀνδρὸς ἐκείνου Λεονάρδου τοῦ Ἀρρητίνου γεγραμμένα ἀποδοκιμάζων διάγεις· ἀλλὰ μὴ ποίει τοῦτο σὺ, ὦ φίλτατε ἄνερ· μᾶλλον δὲ ἐπαινεῖσθαι βουλόμενος, ἐπαίνει καὶ αὐτὸς, σοφὸς ὤν. Ὁ ἀνὴρ γὰρ ἐκεῖνος τοιοῦτος τὴν φήμην παρὰ Λατίνοις ἐγένετο ἅπασιν, ὥςτε καὶ, καθ' Ὅμηρον, τὸ κλέος οὐρανὸν ἥκει. Ἓν δὲ αὐτὸς ὁμολογεῖν τοῦτο οὐκ ὀκνῶ, ὅτι οὐδεὶς ἐκείνου μέχρι τοῦ νῦν παρὰ τοῖς ἡμετέροις ἐφάνη ἐν τοῖς λογίοις ὠφελιμώτερος ἀνήρ. Καὶ ταῦτά σοι παρ' ἡμῶν κατὰ νόμον φιλίας. Ἔρρωσο.

**Μεδιολάνοθεν, ταῖς εἴδοις Νοεμβρίου, ἔτει ͵αυνζ΄.**

---

1. συλλαβῶν KL: συλλαβῆς M 2. ἄλλα KL: ἀλλὰ M μὲν σοὶ KM: μέν σοι L 3. ἄλλα KL: ἀλλὰ M 5. ἐμά KL: εμὰ M 8. ἐμὴν KL: εμὴν M 8. πᾶσί τε KL: πᾶσϊ τὲ M 10. λυπεῖ L: λυπεῖν KM 11. Λεονάρδου L: Λεωνάρδου KM Ἀρρητίνου KL: ἀρρήτίνου M 12. ἄνερ KL: ἔνερ M 17. λογίοις KL: λογίοις et avec le premier i en surcharge κατὰ L ἀνὴρ KL: ανὴρ M ταῦτά σοι L: ταῦτα σοὶ KM 18. Ἔρρωσο KL: ἐρρῶσο M

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

## 4.

(Ἐκ Μεδιολάνου, 26 Φεβρουαρίου 1458)[1].

*Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.*

Ἰάκωβος Ἀκτίολος ὁ τὴν παρ᾽ ἐμοῦ ἀποδιδούς σοι ἐπιστολὴν νεανίσκος ἐστὶν ἐν τοῖς πρώτοις καλὸς τά τε ἤθη καὶ τὴν περὶ λογιότητα σπουδήν. Τοῦτον τοίνυν, ὄντα ἐμὸν, ἔτι δὲ καὶ σὸν γενέσθαι βουλόμενον, συνίστημί σοι παντὶ τοῦ κοινοῦ ἡμῖν καθήκοντος σθένει. Ἐν πάσῃ πόλει καὶ δήμῳ ἀγαθῶν γε δεῖ φίλων, μάλιστα δὲ ἐν τῇ δημοκρατίᾳ· αὐτόθι γὰρ αἰεὶ μεταβολὴ τῶν πραγμάτων πέφυκεν εἶναι καὶ πάντα μεστὰ ταραχῆς. Ἐγὼ μὲν οὖν μέχρι τοῦ νῦν μίαν καὶ μόνην τυγχάνω λαβὼν παρὰ σοῦ ἐπιστολὴν, καὶ ταύτην μὲν ἐπαινοῦσαν ἡμᾶς οὐ κατ᾽ ἀλήθειάν γε, ἀλλὰ κατ᾽ εὔνοιαν, οὐδὲν δὲ περὶ τῶν τῇ ἐμῇ ἐφέσει συντεινόντων ἀναγγέλλουσαν. Ἐπέστειλα γάρ σοι αἰτῶν ἂν ἔχῃς τι οὐ κοινὸν τοῖς πολλοῖς περὶ ποσότητος συλλαβῶν καὶ περὶ προςῳδιῶν, ἔτι δὲ καὶ περὶ λόγου συντάξεως καὶ περὶ τῶν πέντε διαλέκτων διαφορᾶς, μάλιστα δὲ περὶ τῆς αἰολικῆς· πρὸς ταῦτα γοῦν γράψας τὸ ἀκριβές, πρᾶγμα ποιήσεις ἡμῖν οὐκ ἀναγκαιότατον μόνον, ἀλλὰ καὶ ὡς ἥδιστον. Ἔρρωσο.

Μεδιολάνοθεν, τῇ δ´ ἡμέρᾳ πρὸ Μαρτίου καλενδῶν, ἔτει αυνη´.

---

[1] Εὕρηται ἐκδεδομένη ὑπὸ τοῦ Legrand ἔνθ᾽ ἀν. σ. 100 ὑπ᾽ ἀρ. 53 καὶ ἐν μέρει ὑπὸ τοῦ Klette ἔνθ᾽ ἀν. σ. 134.

1. Ἰωάννῃ KL: ιόαννῃ M 2. ἐμοῦ KL: ἐμου M 3. τά τε KL: τὰ τὲ M 9. οὖν L: οῦν M 10. ἐπαινοῦσαν L: ἐπαινοῦσάν M 12. ἔχῃς L: ἔχεις KM 13. συλλαβῶν L: συλλαβῆς KM 14. συντάξεως L: καὶ συντάξεως K 15. διαφορᾶς L: διαφόρας K γοῦν L: γοῦν M 16. ἀκριβὲς L: ἀκρηβὲς M 17. ὡς ἥδιστον. Ἔρρωσο L: ὡσήδιστον ἔρρῶσο M



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

## 5.

('Εκ Μεδιολάνου, 4 'Οκτωβρίου 1458)[1].

*Φραγκίσκος ὁ Φιλέλφος 'Ιωάννῃ τῷ 'Αργυροπούλῳ χαίρειν.*

Ὁ ἀποδιδούς σοι τὴν ἐπιστολὴν Γεώργιος 'Αλεξανδρινὸς ἐγένετο ἡμῖν μαθητής· ἔστι δὲ νεανίσκος καλὸς καὶ οὐκ ἄμοιρος τῶν Μουσῶν. Οὗτος οὖν τῆς σῆς ἐρῶν ἀρετῆς τε καὶ σοφίας ἔρχεται εἰς Φλωρεντίαν· συνίστημί σοι τὸν ἄνθρωπον ὡς ἐμὸν μαθητὴν γεγονότα πρότερον, ἤδη καὶ σὸν γενησόμενον. Ἡμεῖς γὰρ ἄλλα δὴ πράττομεν. Ἔρρωσο, φίλη κεφαλή.

**Τῇ πρὸ τῶν 'Οκτωβρίου νωνῶν τετάρτῃ, ἔτει αυνη'.**

---

## 6.

('Εκ Μεδιολάνου, 11 'Οκτωβρίου 1466)[2].

*Φραγκίσκος ὁ Φιλέλφος 'Ιωάννῃ 'Αργυροπούλῳ χαίρειν.*

Γεώργιον μὲν 'Ασάνην, ὃν συνέστησάς μοι δι' ἐπιστολῆς σου τῆς ἡδίστης, εἶδόν τε ἀσμένως καί, ὡς εἰκός, ἐδεξάμην ἀσπα-

[1] 'Εξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 103 κ. ἑ. ὑπ' ἀρ. 57 καὶ ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 136.

[2] 'Εξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 125 ὑπ' ἀρ. 73 καὶ ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 148.

2. 'Αλεξανδρινὸς L: 'Αλεξανδρῖνος K ἐγένετο KL: εγένετο M 4. ἀρετῆς KL: αρέτῆς M 7. ἄλλα KL: ἀλλὰ M 8. Τῇ KL: τὴ M 9. 'Ιωάννῃ L: Γεωργίῳ 'Ιωάννῃ M 11. τε ἀσμένως KL: τὲ ασμένως M

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σίως· ἐγενόμην δὲ καὶ συνεργὸς αὐτῷ δι' ἐμῶν γραμμάτων ὅσον οἷός τε ἦν. Τί γὰρ ἂν ἄλλο καὶ δυναίμην ἐν τοιούτοις κλύδωσι καιρῶν; Κατοικτείρω μὲν οὖν τὴν τοιούτων ἀνδρῶν δυςτυχίαν· ψέγω δὲ τὴν εὐτυχούντων πρὸς αὐτοὺς ἀμέλειαν, ἄλλως τε τῶν οὐκ εἰδότων τὸ σοφὸν ἐκεῖνο, τὸ εἱμαρμένον ἥξειν. Καὶ περὶ τούτων μὲν ἅλις. Συνήδομαι δέ σοι, ὦ φίλτατε, τῆς παρούσης ὑμῖν εὐδαιμονίας, ἣν καὶ ἀΐδιον διαμένειν εὔχομαι. Πλὴν ἐν τούτῳ δέομαί σου, ἵνα καὶ περὶ ἡμῶν ἐν καιρῷ λόγον τινὰ ποιήσης πρὸς τὸν καλὸν κἀγαθὸν ἄνδρα Πέτρον τὸν Μεδίκην. Οἶδε γὰρ καὶ αὐτὸς ἀκριβῶς ὅσον ἡμῖν πολλάκις ὑπεσχέθη.

Πρὸς τούτοις δ' ἂν ἐβουλόμην ὑπάρξειν ἡμῖν Ἐτυμολογικὸν ἐκεῖνο τὸ ἀρχόμενον *Ἄλφα παρὰ τὸ ἀλφῶ τὸ εὑρίσκω*. Τοῦτο γοῦν ἐάν ἐστιν αὐτόθι, διὰ τῶν σῶν γραμμάτων ἐμοὶ δηλώσας, πρᾶγμα ποιήσεις τῷ φίλῳ σου ποθεινόν. Ἔρρωσο, χρυσεία μοι κεφαλή.

Μεδιολάνοθεν, τῇ ε' πρὸ τῶν εἰδῶν Ὀκτωβρίου, ἔτει ͵αυξϛ'.

---

2. κλύδωσι KM: κλύδοσι L 3. δυστυχίαν KL: δυστυχείαν M 4. αὐτοὺς KL: αὔτους M 6. μὲν L: λείπει K φίλτατε KL: φίλτατὲ M 7. εὐδαιμονίας KL: εὐδαίμονίας M ἀΐδιον KL: ἀΐδιὸν M 10. ἀκριβῶς KL: ακριβῶς M 11. δ' ἂν KL: δὲν M 12. εὑρίσκω KL: εὑρισκω M 13. ἐάν ἐστιν L: ἐὰν ἐστὶν KM 14. ἔρρωσο KL: ἔρρώσο M

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2007 Ε.Υ.Δ της Κ.τ.Π

## 7.

('Εκ Μεδιολάνου, 22 'Ιουνίου 1469)[1].

*Φραγκίσκος ὁ Φίλελφος 'Ιωάννῃ τῷ 'Αργυροπούλῳ χαίρειν.*

'Ακούσας ἐγὼ τὴν καλλίστου σου καὶ ἠγαπημένου παιδὸς κατὰ 'Ρώμην νεωστὶ ἄωρον τελευτήν, καὶ συνήλγησά σοι, ὡς δέον, τῆς συμφορᾶς καὶ οὐκ ὀλίγον ἐδάκρυσα· τοῦτο γὰρ καὶ ἡ φιλία ἡμῖν καὶ τὸ τῆς φύσεως ἀσθενὲς προεξένησεν· οὔτε γὰρ σιδηρῖτις ἡμῖν ἡ καρδία οὔτε θηριῶδες τὸ ἦθος,

« ἀλλ' ἤτοι θάνατον μὲν ὁμοίϊον, καθ' Ὅμηρον, οὐδὲ θεοί περ
καὶ φίλῳ ἀνδρὶ δύνανται ἀλαλκέμεν, ὁππότε μὲν δὴ
μοῖρ' ὀλοὴ καθέλῃσι τανηλεγέος θανάτοιο ».

Διὸ πρέπει ἡμῖν, ὦ φίλτατε, εἴπερ γε φρονοῦμεν καλῶς, μετρίως φέρειν τὰ δοθέντα παρὰ θεοῦ, ἐπείπερ οὐδὲν ἄνευ τούτου συμβέβηκε τοῖς ἀνθρώποις· ἀτὰρ θεὸς καί, κατὰ τὸν ποιητήν, ἄλλοτ' ἄλλῳ

Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ· δύναται γὰρ ἅπαντα.

'Αφείλετο τοίνυν σοι ἡ παρὰ θεοῦ εἱμαρμένη τὸν προσφιλέστατον παῖδα· ἀλλὰ χἄτερον ἔχεις εὐσεβῆ τε καὶ συνετόν· ἔχεις καὶ θεοῦ εὐεργεσίᾳ ἄλλα πολλά τε καὶ καλά· τούτοις χρῆσθαι

[1] Εξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 142 κ. ἑ. καὶ ἐν μέρει ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 156.

2. σου KL: του M 5. προεξένησεν ἔγραψα: προσεξένισεν M: προὐξένησεν L: ἐν τῷ ἀνεκδότῳ μέρει K 6. σιδηρῖτις L: σιδηρίτης M 8. ἀλαλκέμιν ἔγραψα: ἀλάλκεμεν L: ἐν τῷ ἀνεκδότῳ μέρει K ὀππότε L: ὀππότε M 9. τανηλεγέος L: τανυλεγέος M 11. δοθέντα L. δωθέντα M ἄνευ L: ἀνεὺ M

ΕΡΓΑΣΤΗΡΙΟ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρεὼν καὶ χάριν εἰδέναι τῷ θείῳ. Καὶ γάρ, ὡς οἶσθα, οὕτως

. . . οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν
ἀνδράσιν, οὔτε φυὴν, οὔτ᾽ ἂρ φρένας, οὔτ᾽ ἀγορητύν.
Ἄλλος μὲν γάρ τ᾽ εἶδος ἀκιδνότερος πέλει ἀνήρ,
ἀλλὰ θεὸς μορφὴν ἔπεσι στέφει, οἱ δέ τ᾽ ἐς αὐτὸν
τερπόμενοι λεύσσουσιν· ὁ δ᾽ ἀσφαλέως ἀγορεύει,
αἰδοῖ μειλιχίῃ, μετὰ δὲ πρέπει ἀγρομένοισιν,
ἐρχόμενον δ᾽ ἀνὰ ἄστυ θεὸν ὣς εἰσορόωσιν.
Ἄλλος δ᾽ αὖτ᾽ εἶδος μὲν ἀλίγκιος ἀθανάτοισιν,
ἀλλ᾽ οὔ οἱ χάρις ἀμφὶ περιστέφεται ἐπέεσσιν.

Ταῦτα μὲν τοίνυν σὺ σοφὸς ὢν καὶ τὰ τοιαῦτα διανοούμενος οὐ χρήσῃ παραμυθίᾳ. Εἶεν. Οὐ γὰρ λανθάνει ἡμᾶς τό τε μεγαλόψυχόν σου καὶ τὸ καρτερικὸν καὶ τὸ φρόνιμον κατὰ πᾶσαν περίστασιν.

Ἄκουσον νῦν τὸ ἐμόν. Ζητῶ παρὰ τῶν αὐτόθι κρατούντων δημοσίας πίστεως γράμματα. Ἀναγκάζομαι γὰρ ἰδίας πράξεως χάριν εἰς Σήνην ἀπελθεῖν, ἐπανελευσόμενος καὶ σὺν τάχει Μεδιολάνοσε. Περὶ δὲ τούτου κατ᾽ ἀκρίβειαν γέγραφα εἰς τόν τε κορυφαῖον ἄρχοντα Πέτρον Μεδίκην καὶ πρὸς τὸν καλὸν κἀγαθὸν ἱππέα χρυσοῦν Θωμᾶν Σωδερῖνον.

Ἀξιῶ δὲ καὶ σὲ παντὶ σθένει σπουδάσαι ὑπὲρ ἡμῶν, τοῦτο δὲ καὶ λαθραίως διὰ τοὺς ἐπιβούλους· οὐ γὰρ ἀγνοεῖς τὰ ἡμέτερα. Ἔρρωσο, φίλη κεφαλή.

**Μεδιολάνοθεν, τῇ δεκάτῃ πρὸ Ἰουνίου καλενδῶν, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ͵αυξθ΄.**

---

3. ἀγορητὺν L: ἀγορήπιν K 6. λεύσσουσιν L: λεύσουσιν M 7. μετὰ L: μετα M 8. ἐρχόμενον ἔγραψα: ἐρχόμενοι L: λείπει K ὣς L: ὡς K 9. αὖτ᾽ ἔγραψα: αὖ L: λείπει K 10. ἀμφὶ περιστέφεται ἔγραψα: ἀμφιπεριστρέφεται L: ἐν τῷ ἀνεκδότῳ μέρει K 15. ἀναγκάζομαι L: ἀναγκαζομαι K 20. καὶ σὲ M: καί σε L ὑπὲρ L: ὑπερ M 21. λαθραίως KL: λαθρέως M ἡμέτερα L: ἡμέτερα K 22. Ἔρρωσο L: ἐρρῶσο M

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

## 8.

('Εκ Μεδιολάνου, 18 'Ιουλίου 1474)[1].

*Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.*

Ἰδὼν μὲν ἐγὼ ὥσπερ ἐν ἡλίου λαμπηδόνι τὴν ἀγάπην σου πρὸς ἐμέ, ἡγησάμενος δὲ ὅτι καὶ τὴν ἡμετέραν εὔνοιαν περὶ σὲ ἐκ τῶν πρόπαλαι κατορθωμάτων ἡμῶν οἶσθα σαφῶς, ἀφικνοῦμαι νῦν καὶ μετὰ θάρσους πάνυ γε πολλοῦ, τῇ τε φροντίδι σου καὶ φρονήσει χρησόμενος παρὰ τῷ αὐτόθι ἀρχιερεῖ. Οὐ γὰρ ἀγνοεῖς, οἶμαι, πῶς ἐνταῦθα διάγομεν, ἐπεὶ ἐκ τοῦ κοινοῦ παιδὸς, τοῦ καλοῦ τε καὶ ἀγαθοῦ νεανίσκου Ἰσακίου, μεμάθηκας ἅπαντα· οἶδε γὰρ τὰ παρ' ἡμῖν ἀκριβῶς. Τί γοῦν βουλόμενος γράφω; Ποιήσειν σε λόγον ἐν δέοντι ὑπὲρ ἡμῶν πρὸς ἀρχιερέα καὶ παρακινήσειν αὐτὸν πρὸς τὴν τῶν Μουσῶν ἁρμονίαν ἀπὸ τῆς καλογερικῆς λεγομένης ἀμουσίας. Παμμέγιστός τις ὢν ὑπάρχει αὐτὸς, ὁμολογῶ, καὶ λαμπρότατος ἀνὴρ περὶ πᾶσαν φυσικὴν φιλοσοφίαν καὶ τὰς θείας ἐπιστήμας· ἀλλὰ χρὴ κοσμεῖν ταύτας ταῖς ἡδείαις φωναῖς τῶν Μουσῶν· τούτων γὰρ ἄνευ πᾶς λόγος ἀγροικότατος πέφυκεν εἶναι. Πῶς ἄρα τοῦτο ποιεῖν νομιστέον, ἐὰν τῶν Μουσῶν τοὺς ὑπηρέτας οὐκ ἀσπάζεται μόνον, ἀλλὰ καὶ μεγαλοπρεπῶς ἀσπάζεται δὴ καὶ τιμᾷ· τὰ δ' ἄλλα σε τοσοῦτον ὄντα καὶ τοιοῦτον τὴν

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 178 ὑπ' ἀρ. 101 καὶ κατὰ μέγα μέρος ὑπὸ τοῦ Klette ἔνθ' ἀν. σ. 169.

2. μὲν L: λείπει K   λαμπηδόνι KL: λαμπηδῶνι M
5. πολλοῦ KL: πολλου M   6. ἀρχιερεῖ KL: ἀρχιιερει τοῦ πρώτου ει διαγεγραμμένου M   10. παρακινήσειν L: παρακινεῖν K   11-12. λεγομένης L: ἐν τῷ ἀνεκδότῳ μέρει K   13. πᾶσαν L: πᾶσασαν M: ἐν τῷ ἀνεκδότῳ μέρει K   18. ἄλλα σε L: ἀλλ' ἄσε M: ἐν τῷ ἀνεκδότῳ μέρει K

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

τε γλῶτταν καὶ τὴν σοφίαν οὐ λέλησται. Ποίησον τοίνυν ὑπὲρ ἡμῶν ὅσον ἀπαιτεῖ λόγος τε καὶ νόμος φιλίας. Ἔρρωσο.

**Μεδιολάνοθεν, τῇ πέμπτῃ καὶ δεκάτῃ πρὸ Αὐγούστου καλενδῶν, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ͵αυοδʹ.**

---

## 9.

(Ἐκ Βονωνίας, 30 Ἰουνίου 1475)[1].

*Φραγκίσκος ὁ Φιλέλφος Ἰωάννῃ Ἀργυροπούλῳ χαίρειν.*

Συνέτυχον περὶ σοῦ ἐς Φλωρεντίαν ἐλθὼν τῷ τε Λαυρεντίῳ Μεδίκῃ, ἀνδρὶ περιφανεῖ τε καὶ ἀρίστῳ, καὶ τοῖς ἄλλοις σου φίλοις τε καὶ γνωρίμοις, μηθὲν ὅλως παρελθὼν ὅσα πρός σου τὴν ἀξίαν συμφέρειν ἐνόμισα. Ἀσπάζονται μὲν οὖν ἅπαντες τοὔνομά σου καὶ τὴν σοφίαν ἐπαινοῦσι· σαφὲς δὲ ἄλλο μηθὲν ἀποφαίνονται. Ἡ παρουσία σου, ὡς ἔμοιγε δοκεῖ, πολλὴν ῥοπὴν ἕξει πρὸς τὸ πέρας ἀφίξεσθαι. Ἔρρωσο.

**Βονωνίαθεν, πρὸ τῶν Ἰουλίου καλενδῶν τῇ πρώτῃ ἡμέρᾳ, ἔτει ἀπὸ Χριστοῦ γεννήσεως ͵αυοεʹ.**

---

[1] Ἐξεδόθη ὑπὸ τοῦ Legrand ἔνθ' ἀν. σ. 182 ἐν ἀρ. 103 καὶ ὑπὸ Klette ἔνθ' ἀν. σ. 170.

1 οὐ L: ού M  λέλησται ἔγραψα: λέληται M: λέλεκται L: ἐν τῷ ἀνεκδότῳ μέρει K  2. λόγος L: λογος M  Ἔρρωσο L: ἐρρῶσο M  3. πέμπτῃ L: πρώτῃ K  6 τῷ KL: τῴ M  8. τε KL: τὲ M  πρός σου L: προς σου M: πρὸς σοῦ K  10. μηθὲν L: μηδὲν K  11. ἔμοιγε L: ἐμοὶ K  12. ἀφίξεσθαι K: ἀφῖξαι L  Ἔρρωσο KL: ἐρρῶσο M

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΟΣ ΚΑΘΗΓΗΤΗΣ Ν. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007